# The *Exagoge* of Ezekiel

HOWARD JACOBSON
*Professor of the Classics*
*University of Illinois, Urbana*

may be protected
(Title 17 USC).

CAMBRIDGE UNIVERSITY PRESS
CAMBRIDGE
LONDON NEW YORK NEW ROCHELLE
MELBOURNE SYDNEY

e-6431.

*Αἰθίοπες ἄνδρες μέλανες· ἄρχων δ' ἐστὶ γῆς*

*εἷς καὶ τύραννος καὶ στρατηλάτης μόνος.*
*ἄρχει δὲ πόλεως τῆσδε καὶ κρίνει βροτούς*
*ἱερεύς, ὅς ἐστ' ἐμοῦ τε καὶ τούτων πατήρ.*

* * *

*ΧΟΥΜ* *ὅμως κατειπεῖν χρή σε, Σεπφώρα, τάδε.*
*ΣΕΠΦ.* *ξένῳ πατήρ με τῷδ' ἔδωκεν εὐνέτιν.*

* * *

*ΜΩΣΗΣ* *ἔ⟨δο⟩ξ' ὄρους κατ' ἄκρα Σιν⟨αί⟩ου θρόνον*

*μέγαν τιν' εἶναι μέχρι 'ς οὐρανοῦ πτύχας,*
*ἐν τῷ καθῆσθαι φῶτα γενναῖόν τινα*
*διάδημ' ἔχοντα καὶ μέγα σκῆπτρον χερί*
*εὐωνύμῳ μάλιστα. δεξιᾷ δέ μοι*
*ἔνευσε, κἀγὼ πρόσθεν ἐστάθην θρόνου.*
*σκῆπτρον δέ μοι πάρδωκε καὶ εἰς θρόνον μέγαν*
*εἶπεν καθῆσθαι· βασιλικὸν δ' ἔδωκέ μοι*

*διάδημα καὶ αὐτὸς ἐκ θρόνων χωρίζεται.*
*ἐγὼ δ' ἐσεῖδον γῆν ἅπασαν ἔγκυκλον*
*καὶ ἔνερθε γαίας καὶ ἐξύπερθεν οὐρανοῦ,*
*καί μοί τι πλῆθος ἀστέρων πρὸς γούνατα*
*ἔπιπτ', ἐγὼ δὲ πάντας ἠριθμησάμην,*
*κἀμοῦ παρῆγεν ὡς παρεμβολὴ βροτῶν.*
*εἶτ' ἐμφοβηθεὶς ἐξανίσταμ' ἐξ ὕπνου.*

* * *

*⟨ΡΑΓΟΥΗΛ⟩ ὦ ξένε, καλόν σοι τοῦτ' ἐσήμηνε⟨ν⟩ θεός·*
*ζῴην δ', ὅταν σοι ταῦτα συμβαί⟨ν⟩ῃ ποτέ.*
*ἆρά γε μέγαν τιν' ἐξαναστήσεις θρόνον*
*καὶ αὐτὸς βραβεύσεις καὶ καθηγήσῃ βροτῶν;*
*τὸ δ' εἰσθεᾶσθαι γῆν ὅλην τ' οἰκουμένην*
*καὶ τὰ ὑπένερθε καὶ ὑπὲρ οὐρανὸν θεοῦ·*
*ὄψει τά τ' ὄντα τά τε πρὸ τοῦ τά θ' ὕστερον.*

* * *



Ethiopians, black men. One man is the ruler of the land:
he is both king and general.
He rules the state, judges the people,
and is priest. This man is my father and theirs.

* * *

Chum: Sepphora, you must reveal this. 66
Sepphora: My father has given me as spouse to this stranger.

* * *

Moses: I had a vision of a great throne on the top of mount Sinai 68
and it reached till the folds of heaven.
A noble man was sitting on it,
with a crown and a large sceptre in his
left hand. He beckoned to me with his right hand,
so I approached and stood before the throne.
He gave me the sceptre and instructed me to sit
on the great throne. Then he gave me the royal crown
and got up from the throne.
I beheld the whole earth all around and saw
beneath the earth and above the heavens.
A multitude of stars fell before my knees
and I counted them all.
They paraded past me like a battalion of men.
Then I awoke from my sleep in fear.

* * *

Raguel: My friend, this is a good sign from God. 83
May I live to see the day when these things are fulfilled.
You will establish a great throne,
become a judge and leader of men.
As for your vision of the whole earth,
the world below and that above the heavens –
this signifies that you will see what is, what has been and what shall be.

* * *